UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

Universitätsbibliothek Paderborn

# Sōkratus Scholastiku Kai Ermeiu Sozomenu Ekklēsiastikē Istoria

**Socrates <Scholasticus>**

**Mogvntiae, 1677**

XVI. Quomodo Constantinus Imper. urbem Byzantiorum auxit, & Constantinopolim vocavit.

**urn:nbn:de:hbz:466:1-14233**

Visual Library

τοῦτο δὲ ἦν μίμησις ἱερωσύνης καὶ τοῦ καταλόγου τῶν ἱερωμένων ἀνδρῶν. ἐν δὴ οὖν τῷ παιγνίῳ τούτῳ, ἀθανάσιος μὲν τῆς ἐπισκοπῆς ἐκεκλήρωτο τὸν θρόνον· τῶν δὲ ἄλλων νέων ἕκαστος, ἢ πρεσβύτερον, ἢ διάκονον ἐμιμεῖτο. ταῦτα ἔπαιζον οἱ παῖδες κατὰ τὴν ἡμέραν, ἐν ᾗ τοῦ μάρτυρος καὶ ἐπισκόπου πέτρου ἐπετελεῖτο μνήμη· τότε δὴ καὶ ἀλέξανδρος ὁ τῆς ἀλεξανδρείας ἐπίσκοπος διαβαίνων, ὁρᾷ τὸ γινόμενον παίγνιον· καὶ μεταπεμψάμενος τοὺς παῖδας, ἐπύθετο παρ᾽ αὐτῶν τὸν ἐν τῷ παιγνίῳ κληρωθέντα τόπον ἑκάστῳ, προμηνύεσθαί τι διὰ τοῦ γεγονότος ἡγησάμενος. ἐκέλευσέν τε ἐν τῇ ἐκκλησίᾳ ἄγεσθαι τοὺς παῖδας, καὶ παιδείας μεταλαμβάνειν. ἐξαιρέτως δὲ τὸν ἀθανάσιον· εἶτα ἐν τελείᾳ γενόμενον ἡλικίᾳ, καὶ διάκονον χειροτονήσας, ἦγεν ἐπὶ τὴν νίκαιαν, συναγωνιζόμενον αὐτῷ ἐκεῖ, ὅτε συνεκροτεῖτο ἡ σύνοδος. ταῦτα μὲν ὁ ῥουφῖνος περὶ αὐτοῦ ἀθανασίου ἐν τοῖς συντάγμασιν ἑαυτοῦ εἴρηκεν. οὐκ ἀπεικὸς δὲ γενέσθαι. καὶ γὰρ πολλὰ τοιαῦτα γενόμενα πολλάκις ἐφεύρηται. περὶ οὖν τέως τοσαῦτα εἰρήσθω μοι.

---

## Κεφ. ιϛʹ.

*Ὡς βασιλεὺς κωνσταντῖνος τὸ πάλαι βυζάντιον αὐξήσας, κωνσταντίνου πόλιν ἐπωνόμασεν.*

Ὁ Βασιλεὺς δὲ μετὰ τὴν σύνοδον ἐν εὐφροσύνῃ διῆγεν· ἐπιτελέσας οὖν δημοτελῆ τῆς εἰκοσαετηρίδος αὐτοῦ ἑορτὴν, εὐθέως περὶ τὸ ἀνορθοῦν τὰς ἐκκλησίας ἐσπούδαζεν· ἐποίει τε τοῦτο κατὰ τὰς ἄλλας πόλεις, καὶ ἐν τῇ αὐτοῦ ἐπωνύμῳ, ἣν βυζάντιον καλουμένην τὸ πρότερον, ηὔξησε, τείχη μεγάλα περιβαλὼν, καὶ διαφόροις κοσμήσας οἰκοδομήμασιν· ἴσην τε τῇ βασιλευούσῃ ῥώμῃ ἀποδείξας, κωνσταντινούπολιν μετονομάσας, χρηματίζειν δευτέραν ῥώμην νόμῳ ἐκύρωσεν· ὃς νόμος ἐν λιθίνῃ γέγραπται στήλῃ, καὶ δημοσίᾳ ἐν τῷ καλουμένῳ στρατηγίῳ, πλησίον τοῦ ἑαυτοῦ ἐφίππου παρέθηκε· καὶ ἐν ταύτῃ τῇ πόλει, δύο μὲν οἰκοδομήσας ἐκκλησίας, μίαν ἐπωνόμασεν εἰρήνην, ἑτέραν δὲ τὴν τῶν ἀποστόλων ἐπώνυμον. καὶ οὐ μόνον, ὡς ἔφην, ηὔξει τὰ τῶν χριστιανῶν, ἀλλὰ καὶ τὰ τῶν ἑλλήνων καθῄρει. τὰ γοῦν ἀγάλματα, κόσμον τῇ κωνσταντίνου πόλει προυτίθει δημοσίᾳ, καὶ τοὺς δελφικοὺς τρίποδας ἐν τῷ ἱπποδρομίῳ δημοσιεύσας προύθηκε. ταῦτα μὲν οὖν δόξει περιττὰ λέγεσθαι νῦν. ὁρᾶται

narrat. Is lusus erat imitatio sacerdotii, & collegii sacrorum virorum. In hoc igitur ludo, Athanasius quidem Episcopi dignitatem sortitus fuerat. Reliquorum vero puerorum alius presbyteri partes agebat, alius Diaconi. Atque hæc à pueris ludebantur eo ipso die, quo Petri Episcopi & martyris celebrabatur memoria. Fortè Alexander Alexandriæ Episcopus tunc prætergrediens, ludum omnem contemplatur. Accitosque ad se pueros interrogat, quem quisque locum eo in ludo sortitus fuisset, ratus ex eo quod gestum fuisset, aliquid singulis prænuntiari. Quo facto, pueros in ecclesia educari & literarum studiis erudiri jubet, ac præcipuè Athanasium. Quem quidem jam virilem ingressum ætatem, Diaconum constituit, & Nicæam secum duxit, ut in Concilio quod ibi congregatum erat, adjumento illius uteretur. Hæc de Athanasio Rufinus in libris suis commemoravit: nec profectò incredibile est ea contigisse, cum multa hujusmodi sæpenumero gesta esse reperiantur. Sed de Athanasio hactenus.

---

## Caput XVI.

*Quomodo Constantinus Imp. urbem Byzantiorum auxit & Constantinopolim vocavit.*

Imperator vero post peractum Concilium, summa in lætitia vitam exegit. Celebrata igitur festivitate publica vicennalium suorum, statim ad ecclesiarum instauratione omne studium suum contulit. Idque tum in aliis civitatibus præstitit, tum in urbe sibi cognomine. Quam quidem Byzantium antehac appellatam, magnopere amplificavit; & ingentibus cinctam muris, variisq; ædificiis exornatam, reginæ urbium Romæ exæquans, Constantinopolim nominavit; utque nova Roma vocaretur, lege sanxit. Quæ quidem lex in columnâ lapideâ incisa, ac publice in strategio juxta equestrem Imperatoris ipsius statuam collocata est. In eadem urbe duas ecclesias ædificavit: alteram Irenes, alteram Apostolorũ vocabulo appellatam: Nec vero solum res Christianorum amplificavit, ut antea dixi. Verum etiam superstitionem gentilium destruxit. Certè Deorum simulachra ad ornatum urbis Constantinopolitanæ palam proposuit: & tripodas Delphicos in ejusdem civitatis circo publicavit. Sed hæc quidem superfluo nunc videntur commemorari. Prius

A enim ſpectantur oculis, quam percipiantur auditu. Tunc temporis verò Chriſtianorum res maximum incrementum cepere. Etenim Imperatoris Conſtantini temporibus, cùm alia multa, tum id præcipue Divina providentia reſervabat. Et has quidem Imperatoris laudes Euſebius Pamphili magnifice commemoravit. Non importunum tamen eſſe arbitror, ut & nos quoque de iiſdem rebus pro virili parte pauca dicamus.

## Caput XVII.

B *Quomodo Imperatoris mater Helena, crucem Domini diu perquiſitam Hieroſolymis reperit, & eccleſiam conſtruxit.*

Mater Imperatoris Helena, cujus gratiâ Imperator Drepanum, quam ex vico civitatem effecerat, Helenopolim voluit appellari; à Deo in ſomnis admonita, venit Hieroſolyma. Et cum veterem illam Hieruſalem, juxta Prophetæ vaticinium, deſertam ſicut pomorum cuſtodiam offendiſſet, Chriſti monumentum, in quo ille ſepultus reſurrexit, ſtudioſè cœpit perquirere. Ac difficilè quidem illud, ſed tamen opitulante Deo tandem reperit. Quæ vero cauſa fuerit hujus difficultatis, paucis aperiam. C Qui Chriſti fidem ſequebantur, poſt mortem ejus, monumentum iſtud magnopere coluerunt. Hi vero quià religione Chriſti abhorrebant, locum aggere opplentes, templum Veneris in eo extruxerunt, & ſimulacro ſuperpoſito, memoriam loci penitus abolere ſtuduerunt. Et hoc quidem olim eis ſucceſſerat. Verum Imperatoris matri ea res innotuit. Deturbato igitur ſimulachro, egeſtaque humo, & loco undique repurgato; tres cruces in monumento reperit: unam quidem beatam in qua Chri- D ſtus pependerat: duas vero alias, in quibus duo latrones, qui unà cum illo crucifixi ſunt, mortem obierant. Cum his inventa etiam eſt tabella, in qua Pilatus Chriſtum crucifixum, regem eſſe Judæorum variis linguis ac literis pronuntiaverat. Sed quoniam ambiguum erat, quænam eſſet crux illa quæ quærebatur, Mater Imperatoris non mediocri dolore affecta eſt. Quem quidem brevi poſt tempore Hieroſolymorum Epiſcopus, nomine Macarius, ſedavit, & ambiguitatem omnem fidei virtute diſſolvit. Signum enim à Deo petiit, & impetravit. Signum vero fuit hujuſmodi.

A γὰρ πρότερον ἢ ἀκούεται. τότε δὲ ὅμως μεγίστην ἐπίδοσιν ἔλαβε τὰ τοῦ χριστιανισμοῦ. καὶ γὰρ ἐν τοῖς καιροῖς τοῦ βασιλέως Κωνσταντίνου, καὶ ἄλλα πλεῖστα ἡ τοῦ θεοῦ ἐφύλαττε πρόνοια. οὕτω τῶν τοῦ βασιλέως ἐγκωμίων μετὰ μεγαλοφώνου φράσεως ὁ Παμφίλου Εὐσέβιος μνήμην πεποίηται· οὐκ ἄκαιρον δὲ ἡγοῦμαι καὶ ἡμᾶς περὶ τῶν αὐτῶν, ὡς οἷόν τε, διὰ βραχέων εἰπεῖν.

## Κεφ. ιζ.

B Ὡς ἡ τοῦ βασιλέως μήτηρ Ἑλένη, ἐπὶ τὰ Ἱεροσόλυμα παραγενομένη, τὸν σταυρὸν τοῦ Χριστοῦ ἀναζητήσασα εὗρε, καὶ ἐκκλησίαν ᾠκοδόμησεν.

Ἡ τοῦ βασιλέως μήτηρ Ἑλένη, ἧς ἐπονόματι τὴν ποτὲ κώμην Δρεπάνην, πόλιν ποιήσας ὁ βασιλεὺς Ἑλενούπολιν ἐπωνόμασε, δι' ὀνείρων χρηματισθεῖσα, εἰς τὰ Ἱεροσόλυμα παρεγένετο· καὶ τὴν ποτὲ Ἱερουσαλὴμ ἔρημον ὡς ὀπωροφυλάκιον κατὰ τὸν προφήτην εὑροῦσα, τὸ τοῦ Χριστοῦ μνῆμα ἔνθα ταφεὶς ἀνέστη, σπουδαίως ἐζήτει· καὶ δυσχερῶς μὲν, σὺν θεῷ δὲ εὑρίσκει· τίς δὲ ἡ αἰτία τῆς δυσχερείας, διὰ βραχέων ἐρῶ. ὅτι οἱ μὲν τὰ τοῦ Χριστοῦ φρονοῦντες, μετὰ τὸν καιρὸν τοῦ C πάθους ἐτίμων τὸ μνῆμα. οἱ δὲ φεύγοντες τὰ τοῦ Χριστοῦ, χώσαντες τὸν τόπον, Ἀφροδίτης κατ' αὐτοῦ ναὸν κατασκευάσαντες ἐπέστησαν ἄγαλμα, μὴ ποιοῦντες μνήμην τοῦ τόπου· τοῦτο μὲν οὖν πάλαι προὐχώρει· τῇ δὲ μητρὶ τοῦ βασιλέως φανερὸν τοῦτο ἐγένετο. καθελοῦσα οὖν τὸ ξόανον, καὶ τὸν τόπον ἐκχώσασα καὶ καθαρὸν ἐργασαμένη, τρεῖς εὑρίσκει σταυροὺς ἐν τῷ μνήματι. ἕνα μὲν τὸν μακαριστὸν, ἐν ᾧ Χριστὸς ἐξετανύσθη· σὺν δὲ D ἑτέρους, ἐν οἷς οἱ συσταυρωθέντες δύο λῃσταὶ τεθνήκεσαν· σὺν αὐτοῖς δὲ εὕρητο καὶ ἡ τοῦ Πιλάτου σανὶς, ἐν ᾗ βασιλέα τὸν Ἰουδαίων τὸν σταυρωθέντα Χριστὸν προσγράφων, ἐν διαφόροις γράμμασιν ἐκήρυττεν· ἐπεὶ δὲ ἀμφίβολος ἦν ὁ σταυρὸς ὁ ζητούμενος, οὐχ ἡ τυχοῦσα λύπη κατεῖχε τὴν τοῦ βασιλέως μητέρα· οὐκ εἰς μακρὰν δὲ παύει τὰ τῆς λύπης ὁ τῶν Ἱεροσολύμων ἐπίσκοπος, ᾧ ὄνομα ἦν Μακάριος. λύει δὲ πίστει τὸ ἀμφίβολον. σημεῖον γὰρ ᾔτει παρὰ τοῦ θεοῦ, καὶ ἐλάμβανε. τὸ δὲ σημεῖον ἦν τοιοῦτο·